Θ'. Ὅτι καὶ νόμον ἔθετο ὁ Κωνσταντῖνος συντελεῖν τοῖς παρθενίαν ἀσκοῦσι καὶ κληρικοῖς.

Ι'. Περὶ τῶν ἔτι τῷ βίῳ περιόντων μεγάλων ὁμολογητῶν.

ΙΑ'. Διήγησις περὶ τοῦ ἁγίου Σπυρίδωνος καὶ περὶ τῆς αὐτοῦ μετριοφροσύνης καὶ καταστάσεως.

ΙΒ'. Περὶ τῆς τῶν μοναχῶν πολιτείας· ὅθεν ἤρξατο καὶ τίνας ἔσχεν ἀρχηγούς.

ΙΓ'. Περὶ τοῦ μεγάλου Ἀντωνίου καὶ τοῦ ἁγίου Παύλου τοῦ Ἁπλοῦ.

ΙΔ'. Περὶ τοῦ ἁγίου Ἀμοῦν καὶ Εὐτυχιανοῦ τοῦ ἐν τῷ Ὀλύμπῳ.

ΙΕ'. Περὶ τῆς Ἀρείου αἱρέσεως καὶ ὅθεν ἤρξατο καὶ τίνας διέλαβε· καὶ περὶ τῆς μεταξὺ τῶν ἐπισκόπων δι' αὐτὸν ἀναφθείσης ἔριδος.

Ιϛ'. Ὡς ἀκούσας ὁ Κωνσταντῖνος περὶ τῆς διαμάχης τῶν ἐπισκόπων καὶ τῆς τοῦ Πάσχα ἀνωμάλου ἑορτῆς μεγάλως ἐδυσχέρανε καὶ πέμπει Ὅσιον τὸν Ἱσπάνον Κουδρούβης ἐπίσκοπον εἰς Ἀλεξάνδρειαν διαλῦσαι τὴν στάσιν τοῖς ἐπισκόποις καὶ τὸ ζήτημα καταστῆσαι τοῦ Πάσχα.

ΙΖ'. Περὶ τῆς ἐν Νικαίᾳ ἀθροισθείσης συνόδου δι' Ἄρειον.

ΙΗ'. Περὶ τῶν πιστευσάντων δύο φιλοσόφων ἐξ ἁπλότητος τῶν διαλεχθέντων τούτοις δύο γερόντων.

ΙΘ'. Ὅτι τῆς συνόδου ἀθροισθείσης πρὸς αὐτοὺς ὁ βασιλεὺς δημηγορίαν ἐξεῖπεν.

Κ'. Ὅπως ἀκροασάμενος τῶν μερῶν ἀμφοτέρων ὁ βασιλεὺς τοὺς περὶ Ἄρειον καταδικάσας ἐξωστράκισε.

ΚΑ'. Περὶ τῶν ἃ ἐκύρωσεν ἡ Ἀρείου σύνοδος καὶ ὡς κατεδίκασε τοὺς περὶ Ἄρειον καὶ τὰ συγγράματα αὐτοῦ κατέκαυσε· καὶ περὶ τῶν μὴ θελησάντων συμφωνῆσαι τῇ συνόδῳ ἀρχιερέων καὶ περὶ τῆς καταστάσεως τοῦ Πάσχα.

ΚΒ'. Ὅτι καὶ Ἀκέσιον τὸν τῶν Νουατιανῶν ἐπίσκοπον εἰς τὴν πρώτην σύνοδον ὁ βασιλεὺς μετεκαλέσατο.

ΚΓ'. Περὶ τῶν κανόνων οὓς ἡ σύνοδος ἔθετο· καὶ ὡς Παφνούτιός τις ὁμολογητὴς διεκώλυσε τὴν σύνοδον, βουλομένην θεῖναι κανόνα παρθενίαν ἀσκεῖν πάντας τοὺς ἱερωσύνῃ τιμᾶσθαι μέλλοντας.

ΚΔ'. Περὶ τῶν κατὰ Μελίτιον ὅπως ἀρίστως τὰ κατ' αὐτὸν ἡ ἁγία διῴκησε σύνοδος.

ΚΕ'. Ὅτι δημοτελῆ τράπεζαν ὁ βασιλεὺς τῇ συνόδῳ ἐποίησε συγκαλέσας τούτους εἰς Κωνσταντινούπολιν καὶ δώροις τιμήσας· καὶ ὅπως πάντας ὁμονοεῖν παρεκάλεσε καὶ πρὸς Ἀλεξάνδρειαν καὶ ἁπανταχοῦ τὰ δεδογμένα τῇ θείᾳ συνόδῳ ἐξέπεμψεν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417077041/16 UNIVERSITÄT LEIPZIG